Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀνύμφευτε ἁγνή, Θεοτόκε παρθένε, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τάς ἐλπίδας, κόρη, ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον ταῖς θείαις πρεσβείαις σου.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν Ἀναστάσιμος, ᾠδὴ δ΄

ἦχος β΄

«Ἐλήλυθας ἐκ Παρθένου, οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω σοι· δόξα τῇ δυνάμει σου Κύριε».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Παρίστασο ὡς κριτής, ὁ Θεός μου τῷ βήματι, οὐ κραυγάζων Δέσποτα, κρίσιν ἐνάγων τοῖς ἔθνεσιν, ἣν διὰ τοῦ πάθους σου, τῇ οἰκουμένῃ εἰργάσω, σωτηρίαν Χριστέ.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Τῷ πάθει σου τοῦ ἐχθροῦ, αἱ ῥομφαῖαι ἐξέλιπον, τῶν ὑπεναντίων δέ, ἐν τῇ εἰς ᾅδου καθόδῳ σου, πόλεις καθηρέθησαν, καὶ τοῦ τυράννου τὸ θράσος καταβέβληται.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σὲ λιμένα σωτηρίας, καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Κανὼν Τριῳδίου, ᾠδὴ δ'

Τὴν ἐκ Παρθένου σου γέννησιν — Ἦχος β'

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Πλοῦτον καλῶν ὃν μοι δέδωκας, ἐπουράνιε Πάτερ, διεσκόρπισα κακῶς, ξένοις πολίταις δουλούμενος, διὸ βοᾷ σοι. Ἥμαρτόν σοι δέξαι με, ὡς τὸν Ἄσωτον πάλαι, ὑφαπλώσας, τὰς ἀγκάλας μοι τὰς σὰς.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Πάσῃ κακίᾳ δεδούλωμαι, ὑποκύψας ἀθλίως τοῖς παθῶν δημιουργοῖς καὶ ἐμαυτοῦ ἔξω γέγονα, ἀπροσεξίᾳ, οἰκτειρόν με Σῶτερ, ἐπουράνιε Πάτερ, προσφυγόντα, τοῖς πολλοῖς σου οἰκτιρμοῖς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Πάσης αἰσχύνης πεπλήρωμαι, μὴ τολμῶν ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, καὶ γὰρ ἀλόγως ὑπέκυψα τῇ ἁμαρτίᾳ, νῦν δὲ ἐπιστρέφων, ἐκβοῶ κατανύξει. Ἥμαρτόν σοι, δέξαι με, παμβασιλεῦ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἡ τῶν ἀνθρώπων βοήθεια, ἡ ἐλπὶς ἡ βεβαία, πάντων τῶν Χριστιανῶν, τὸ καταφύγιον, ἄχραντε, τῶν σωζομένων, σῶσόν με, Παρθένε, μητρικαῖς σου πρεσβείαις, καὶ μελλούσης, καταξίωσον ζωῆς.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ ε'

Ἦχος β'

«Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας, Χριστὲ ὁ Θεός· διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Ὡς κέδρος Χριστέ, τῶν ἐχθρῶν τὸ φρύαγμα συνέτριψας, ἑκουσίως Δέσποτα, ἐν τῇ κυπαρίσσῳ ὡς ηὐδόκησας, καὶ τῇ πεύκῃ καὶ κέδρῳ σαρκὶ συνανυψούμενος.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Ἐν λάκκῳ Χριστέ, κατωτάτῳ ἔθεντό σε, ἄπνουν νεκρόν, ἀλλ᾽ οἰκείῳ μώλωπι, ἐπιλελησμένους τραυματίας Σωτήρ, τοὺς ἐν τάφοις ὑπνοῦντας, σεαυτῷ συνεξανέστησας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Δυσώπει τὸν σόν, Υἱὸν καὶ Κύριον, Παρθένε ἁγνή, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Κανὼν Τριῳδίου, ᾠδὴ ε′

Τῆς νυκτὸς διελθούσης ἦχος β′

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἐδουλώθην πολίταις, ξένοις καὶ εἰς χώραν φθοροποιὸν ἀπεδήμησα, καὶ ἐπλήσθην αἰσχύνης, νῦν δε ἐπιστρέφων, κράζω σοι, οἰκτίρμον τό, ἥμαρτον.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Τὰ πατρῷά σου σπλάγχνα, νῦν ὑπάνοιξόν μοι, ἀπὸ τῶν κακῶν ἐπιστρέφοντα, ἐπουράνιε Πάτερ, καὶ μή με ἀπώσῃ, ἔχων ὑπερβάλλον τὸ ἔλεος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Οὐ τολμῶ ἀτενίσαι, ἄνω εἰς τὸ ὕψος, ἄμετρα Χριστὲ παροργίσας σε᾽ ἀλλ᾽ εἰδώς σου οἰκτίρμον τὸ εὔσπλαγχνον κράζω· ἥμαρτον, ἱλάσθητι, σῶσόν με.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Παρθένε, κεχαριτωμένη, ἡ τὸν ἱλασμὸν πάντων τέξασα, τῶν ἐμῶν ἐγκλημάτων, τὸ βαρὺ φορτίον, σοῦ ταῖς ἱκεσίαις ἐλάφρυνον.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ ς′

ἦχος β′

«Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Ὡς κακοῦργος ὁ δίκαιος κέκριται, καὶ μετὰ ἀνόμων τῷ ξύλῳ προσήλωται, τοῖς ὑπευθύνοις ἄφεσιν, τῷ οἰκείῳ δωρούμενος αἵματι.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Δι᾽ ἑνὸς μὲν ἀνθρώπου τοῦ πρώτου Ἀδάμ, πάλαι εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος, καὶ δι᾽ ἑνὸς ἀνάστασις, τοῦ Υἱοῦ τοῦ Θεοῦ πεφανέρωται.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κανὼν Τριῳδίου, ᾠδὴ ς΄

Βυθῷ ἁμαρτημάτων — Ἦχος β΄

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Βυθὸς ἁμαρτημάτων, συνέχει με ἀεί, καὶ τρικυμία πταισμάτων, βυθίζει με κυβέρνησον, πρὸς λιμένα με ζωῆς Χριστὲ ὁ Θεός, καὶ σῶσόν με βασιλεῦ τῆς δόξης.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Τὸν πλοῦτον τὸν πατρῷον, ἐσκόρπισα δεινῶς, καὶ πενητεύσας, αἰσχύνης πεπλήρωμαι, δουλούμενος τοῖς ἀκάρποις λογισμοῖς, διό σοι βοῶ φιλάνθρωπε· οἰκτειρόν με σῶσον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Λιμῷ καταφθαρέντα, παντοίων ἀγαθῶν καὶ ξενωθέντα ἐκ σοῦ Ὑπεράγαθε, οἰκτείρησον, ἐπιστρέφοντά με νῦν, καὶ σῶσον Χριστέ, ὑμνοῦντά σου τὴν φιλανθρωπίαν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σωτῆρα καὶ Δεσπότην κυήσασα Χριστόν, τῆς σωτηρίας με κόρη ἀξίωσον, πτωχεύσαντα, ἐκ παντοίων ἀγαθῶν, Παρθένε ἁγνή, ἵνα ὑμνῶ τὰ σὰ μεγαλεῖα.

Συναπτὴ

Ἔτι καὶ ἔτι… Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον… Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου… Σοί, Κύριε.
Σὺ γὰρ εἶ ὁ βασιλεύς… Ἀμήν.

Κοντάκιον τοῦ Τριῳδίου

Ἦχος γ΄

Τῆς πατρῴας, δόξης σου, ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὃν μοι παρέδωκας πλοῦτον· ὅθεν σοι τὴν τοῦ Ἀσώτου, φωνὴν κραυγάζω· ἥμαρτον ἐνώπιόν σου Πάτερ οἰκτίρμον, δέξαι με μετανοοῦντα, καὶ ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.

Θρασύβουλου Στανίτσα — Κωνσταντίνου Παπαγιάννη

Οἶκος Τριῳδίου

Τοῦ Σωτῆρος ἡμῶν καθ' ἑκάστην διδάσκοντος δι' οἰκείας φωνῆς, τῶν Γραφῶν ἀκουσώμεθα, περὶ τοῦ Ἀσώτου καὶ σώφρονος πάλιν, καὶ τούτου πίστει ἐκμιμησώμεθα τὴν

καλὴν μετάνοιαν, τῷ κατιδόντι πάντα τὰ κρύφια μετὰ ταπεινῆς καρδίας κράξωμεν· ἡμάρτομέν σοι Πάτερ οἰκτίρμον, καὶ οὐκ ἐσμὲν ἄξιοι ποτέ, κληθῆναι τέκνα ὡς πρίν. Ἀλλ᾽ ὡς φύσει ὑπάρχων φιλάνθρωπος, σὺ προσδέχου, καὶ ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.

Συναξάριον

Τῇ **ιβ′** τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μελετίου, ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης.

Τὰς χεῖρας αἴρων Μελέτιος Κυρίῳ,
Ταῖς χερσί σου τίθημι τὴν ψυχήν, λέγει.
Δωδεκάτῃ Μελέτιος ἔδυ χθόνα πουλυβότειραν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Μαρίας, τῆς μετονομασθείσης Μαρῖνος.

Στολὴ Μαρῖνον μαρτυρεῖ τὴν Μαρίαν,
Ταφὴ Μαρίαν δεικνύει τὸν Μαρῖνον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμων Ἀντωνίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Οὐδὲν τι προσχὼν Ἀντώνιος τοῖς κάτω,
Καλῶν δικαίως ἠξιώθη τῶν ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Σατορνῖνος καὶ Πλουτῖνος ξίφει τελειοῦνται.

Τὰ θνησιμαῖα ταῦτα τῶν τετμημένων,
Σατορνίνου πέφυκε καὶ τοῦ Πλουτίνου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος νεομάρτυς Χρῆστος, ὁ κηπουρός, ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει 1748, ξίφει τελειοῦται.

Τιμηθεὶς ὁ Χρῆστος δι᾽ ἀγάπην Κυρίου,
Κηπουρὸς ὠφθη τῆς Ἐδὲμ τοῦ χωρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, δευτέρᾳ Κυριακῇ τοῦ Τριῳδίου, τῆς τοῦ Ἀσώτου υἱοῦ παραβολῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου μνείαν ποιούμεθα, ἣν οἱ θειότατοι πατέρες ἡμῶν δευτέραν ἐν τῷ Τριῳδίῳ ἐνέταξαν.

Ἄσωτος εἴ τις, ὡς ἐγώ, θαῤῥῶν ἴθι.
Θείου γὰρ οἴκτου πᾶσα ἤνοικται θύρα.

Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Κανὼν Ἀναστάσιμος, ᾠδὴ ζ′

Ἦχος β′

«Ἀντίθεον πρόσταγμα, παρανομοῦντος τυράννου, μετάρσιον τὴν φλόγα ἀνερρίπισε, Χριστὸς δὲ ἐφήπλωσε, θεοσεβέσι παισί, δρόσον τὴν τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος, καὶ ὑπερένδοξος».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Οὐκ ἔφερες Δέσποτα, δι᾽ εὐσπλαγχνίαν, θανάτῳ τὸν ἄνθρωπον, καθορᾶν τυραννούμενον, ἀλλ᾽ ἦλθες καὶ ἔσωσας ἰδίῳ αἵματι, ἄνθρωπος γενόμενος, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Ἰδόντες σε ἔπτηξαν, ἠμφιεσμένον, στολὴν ἐκδικήσεως, οἱ πυλωροὶ τοῦ ᾅδου Χριστέ, ἀγνώμονα τύραννον, οἰκέτην Δέσποτα· ἦλθες γὰρ χειρώσασθαι, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἁγίων ἁγίαν σε, κατανοοῦμεν, ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

Κανὼν Τριῳδίου, ᾠδὴ ζ΄

Τὰ Χερουβὶμ μιμούμενοι ἦχος β΄

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ταῖς ἡδοναῖς τοῦ σώματος, ὑπέκυψα παναθλίως, καὶ ἐδουλώθην ὅλως, τοῖς τῶν παθῶν ἐφευρεταῖς, καὶ ξένος ἐγενόμην, ἀπὸ σοῦ φιλάνθρωπε, νῦν δὲ κράζω, τὴν τοῦ, Ἀσώτου φωνὴν· ἡμάρτηκα Χριστέ, μή με ὑπερίδῃς, ὡς μόνος ἐλεήμων.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀναβοῶ τὸ ἥμαρτον, μηδόλως ἐνατενίσαι, ἀποτολμῶν εἰς ὕψος τοῦ οὐρανοῦ παμβασιλεῦ· ὅτι ἐν ἀφροσύνῃ, μόνος σε παρώργισα, ἀθετήσας τὰ σὰ προστάγματα· διὸ ὡς μόνος ἀγαθός, μή με ἀπορρίψῃς ἀπὸ τοῦ σοῦ προσώπου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τῶν ἀποστόλων Κύριε, καὶ προφητῶν καὶ ὁσίων, καὶ τῶν σεπτῶν μαρτύρων καὶ τῶν δικαίων προσευχαῖς συγχώρησόν μοι πάντα, ἅπερ ἐπλημμέλησα, παροργίσας Χριστέ, τὴν ἀγαθότητά σου, ὅπως ὑμνολογῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τῶν Χερουβὶμ φανεῖσα, καὶ Σεραφὶμ Θεοτόκε, καὶ πάσης λαμπροτέρα, ἐπουρανίου στρατιᾶς, σὺν τούτοις ἐκδυσώπει, ὃν περ ἐσωμάτωσας Θεὸν Λόγον πανάμωμε, ἀνάρχου Πατρός, ὅπως τῶν ἀγαθῶν τῶν αἰωνιζόντων, πάντες ἀξιωθῶμεν.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ η΄

ἦχος β΄

«Κάμινός ποτε, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ προστάγματι, τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Αἵματι Χριστε, τῷ σῷ πεφοινιγμένην, τὴν τῆς σαρκός σου καθορῶντα στολήν, ἐν τρόμῳ ἐξίσταντο, τὴν πολλὴν μακροθυμίαν, τὰ τῶν ἀγγέλων τάγματα, κράζοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Σύ μου τὸ θνητόν, ἐνέδυσας οἰκτίρμον, ἀθανασίαν τῇ ἐγέρσει σου· διὸ ἀγαλλόμενος, εὐχαρίστως ἀναμέλπει σοι, ὁ ἐκλεκτὸς λαὸς Χριστέ, κράζων σοι· κατεπόθη ὄντως εἰς νῖκος ὁ θάνατος.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σὺ τὸν τοῦ Πατρός, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ πάναγνε· ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

Κανὼν Τριῳδίου, ᾠδὴ π΄

Τὸν ἐν τῇ βάτῳ

ἦχος β΄

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὁ καταβὰς ἐπὶ γῆς εἰς τὸ σῶσαι τὸν κόσμον, ἑκουσίῳ πτωχείᾳ διὰ ἔλεος πολύ, πτωχεύσαντά με πάσης νῦν ἀγαθοεργίας, ὡς ἐλεήμων σῶσον.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀπὸ τῶν σῶν ἐντολῶν μακρυνθεὶς ἐδουλώθην, παναθλίως τῷ πλάνῳ, ἐπιστρέφοντα δὲ νῦν, τὸν ἄσωτον ὡς πάλαι, προσπίπτοντά σοι δέξαι, ἐπουράνιε πάτερ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Φθοροποιοῖς λογισμοῖς, ὑπαχθεὶς ἠμαυρώθην, καὶ ἐκ σοῦ ἐμακρύνθην, ὅλως ἔξω ἐμαυτοῦ, γενόμενος οἰκτίρμον· διὸ ἐν μετανοίᾳ, προσπίπτοντά σοι σῶσον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Θεογεννῆτορ ἁγνὴ ἡ τῶν κατερραγμένων, ἐπανόρθωσις μόνη, ἐπανόρθωσον κἀμέ, παντοίαις ἁμαρτίαις, συντετριμμένον ὅλον, καὶ τεταπεινωμένον.

Κανὼν Ἀναστάσιμος, ᾠδὴ θ΄

ἦχος β΄

«Ἀνάρχου γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα, διὸ τὴν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Ὡς ἐν παραδείσῳ φυτευθέν, ἐν τῷ Κρανίῳ Σωτήρ, τὸ τρισόλβιον ξύλον τοῦ σοῦ ἀχράντου Σταυροῦ, αἵματι καὶ ὕδατι θείῳ, ὡς ἐκ πηγῆς τῆς θείας πλευρᾶς σου, Χριστὲ ἀρδευόμενον, τὴν ζωὴν ἡμῖν ἐξήνθησε.

Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε.

Καθεῖλες δυνάστας, σταυρωθεὶς ὁ παντοδύναμος, καὶ τὴν κάτω κειμένην, ἐν τῇ τοῦ ᾅδου φρουρᾷ, φύσιν τῶν ἀνθρώπων ὑψώσας, τῷ πατρικῷ ἐνίδρυσας θρόνῳ, μεθ᾽ ἧς σε ἐρχόμενον, προσκυνοῦντες μεγαλύνομεν.

Ἁγία Τριὰς ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.

Μονάδα τρισάριθμον, Τριάδα ὁμοούσιον, ὀρθοδόξως ὑμνοῦντες, πιστοὶ δοξάσωμεν, ἄτμητον ὑπέρθεον φύσιν, τρισσοφεγγῆ ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμπουσαν.

Κανὼν Τριῳδίου, ᾠδὴ θ′

Τῶν γηγενῶν τίς ἤκουσε — Ἦχος β′

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἴδε Χριστέ, τὴν θλῖψιν τῆς καρδίας, ἴδε μου τὴν ἐπιστροφήν, ἴδε τὰ δάκρυα Σῶτερ, καὶ μὴ παρίδῃς με, ἀλλ᾽ ἐναγκάλισαι πάλιν δι᾽ εὐσπλαγχνίαν, πληθύϊ σῳζομένων συναριθμῶν ὅπως ὑμνῶ εὐχαρίστως τὰ ἐλέη σου.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὡς ὁ λῃστὴς βοῶ τὸ μνήσθητί μου, ὡς ὁ τελώνης κατηφὴς τύπτω τὸ στῆθος καὶ κράζω, νῦν τό, ἱλάσθητι ὥσπερ τὸν ἄσωτον ῥῦσαί με πανοικτίρμον, ἐκ πάντων τῶν κακῶν μου παμβασιλεῦ, ὅπως ὑμνῶ σου τὴν ἄκραν συγκατάβασιν.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Στέναξον νῦν, ψυχή μου, παναθλία, καὶ ἀναβόησον Χριστῷ· ὁ δι᾽ ἐμὲ ἑκουσίως πτωχεύσας Κύριε, πτωχεύσαντά με ἐκ πάσης ἀγαθοεργίας, καλῶν περιουσίᾳ, ὡς ἀγαθὸς καὶ πολύελεος, μόνος καταπλούτισον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἵν᾽ περ ποτέ, εἰργάσω εὐφροσύνην, τῇ τοῦ, ἀσώτου ἀγαθέ, ἐπιστροφῇ ἑκουσίῳ· ταύτην νῦν ποίησον καὶ ἐπ᾽ ἐμοὶ τῷ ἀθλίῳ προσεφαπλῶν μοι, τὰς σὰς σεπτὰς ἀγκάλας ἵνα σωθεὶς ὑμνολογῶ σου τὴν ἄκραν συγκατάβασιν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Φωτιστικαῖς, πρεσβείαις σου Παρθένε, τοὺς νοερούς μου ὀφθαλμούς, ἐσκοτισμένους κακίᾳ, φώτισον δέομαι, καὶ πρὸς ὁδοὺς μετανοίας εἰσάγαγέ με, ὅπως χρεωστικῶς σε ὑμνολογῶ, τὴν ὑπὲρ λόγον τὸν λόγον σωματώσασαν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Καταβασίαι τῆς Κυριακῆς τοῦ Ἀσώτου

ἦχος β′

α. Τὴν Μωσέως ᾠδήν, ἀναλαβοῦσα βόησον ψυχή. Βοηθὸς καὶ σκεπαστής, ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν.

γ. Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

δ. Τὴν ἐκ Παρθένου σου γέννησιν, ὁ προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν· Τὴν ἀκοήν σου ἀκήκοα καὶ ἐφοβήθην, ὅτι ἀπὸ Θαιμάν, καὶ ἐξ ὄρους ἁγίου κατασκίου, ἐπεδήμησας, Χριστέ.

ε. Τῆς νυκτὸς διελθούσης, ἤγγικεν ἡ ἡμέρα, καὶ τὸ φῶς τῷ κόσμῳ ἐπέλαμψε· διὰ τοῦτο ὑμνεῖ σε τάγματα ἀγγέλων καὶ δοξολογεῖ σε Χριστὲ ὁ Θεός.

ς. Βυθῷ ἁμαρτημάτων, συνέχομαι Σωτήρ, καὶ ἐν πελάγει τοῦ βίου βυθίζομαι ἀλλ᾽ ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρός, κἀμὲ τῶν παθῶν ἀνάγαγε, καὶ διάσωσόν με.

ζ. Τὰ Χερουβὶμ μιμούμενοι, Παῖδες, ἐν τῇ καμίνῳ ἐχόρευον βοῶντες· Εὐλογητὸς εἶ ὁ Θεός, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει, ἐπήγαγες ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν, ὁ ὑπερύμνητος καὶ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

η. Τὸν ἐν τῇ βάτῳ Μωσῆ, τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα ποτέ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σύντομοι Ἀργαὶ

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν..

Λουκᾶ κεφ. 1 ἦχος β′

∴ Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. 46-47

∴ Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. 48

∴ Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. 49-50

∴ Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. 51

∴ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. 52-53

∴ Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. 54-55

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Πέτρου τοῦ Πελοποννησίου — Κωνσταντίνου Παπαγιάννη

Καταβασία θ' ᾠδῆς

ἦχος β'

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον, ἢ τίς ἑώρακε ποτέ; ὅτι παρθένος εὑρέθη ἐν γαστρὶ ἔχουσα, καὶ ἀνωδίνως τὸ βρέφος ἀποτεκοῦσα τοιοῦτόν σου τὸ θαῦμα καὶ σὲ ἀγνὴ Θεοκυῆτορ Μαρία μεγαλύνομεν.

Σύντομος — Ἀργὴ — Ἰωάννου Πρωτοψάλτου — Πέτρου Βυζαντίου

Συναπτὴ

Ἔτι καὶ ἔτι… Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον… Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου… Σοί, Κύριε.
Ὅτι σὲ αἰνοῦσι… Ἀμήν.

Ἐξαποστειλάρια

ἦχος β'

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (γ')
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν.

Ἀναστάσιμον β'

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ μυροφόροι ἔχαιρον· εἶδον γὰρ νεανίσκον,

καθήμενον ἐν τῷ τάφῳ, καὶ αὐτὸς ταύταις ἔφη· ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ, τοῖς μαθηταῖς· ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Πέτρου Λαμπαδαρίου
Χρύσανθου Θεοδοσόπουλου
Κωνσταντίνου Παπαγιάννη
Ἀθανάσιου Παναγιωτίδη

Ἐξαποστειλάρια τοῦ Τριῳδίου

Γυναῖκες ἀκουτίσθητε — Ἦχος β΄

Τὸν πλοῦτον, ὅν μοι δέδωκας, τῆς χάριτος ὁ ἄθλιος, ἀποδημήσας ἀχρείως, κακῶς ἠνάλωσα Σῶτερ, ἀσώτως ζήσας δαίμοσι, δολίως διεσκόρπισα· διό με ἐπιστρέφοντα, ὥσπερ τὸν ἄσωτον δέξαι, Πάτερ οἰκτίρμον, καὶ σῶσον.

Ἐσκόρπισα τὸν πλοῦτόν σου, ἐκδαπανήσας Κύριε, καὶ πονηροῖς δαιμονίοις, καθυπετάγην ὁ τάλας· ἀλλὰ Σωτὴρ πανεύσπλαγχνε τὸν ἄσωτον οἰκτείρησον, καὶ ῥυπωθέντα κάθαρον, τὴν πρώπην ἀποδιδούς μοι, στολὴν τῆς σῆς βασιλείας.

Θεοτοκίον

Ἁγία Μητροπάρθενε, τὸ μέγα περιήχημα τῶν ἀποστόλων μαρτύρων, καὶ προφητῶν καὶ ὁσίων, τὸν σὸν Υἱὸν καὶ Κύριον, ἱλέωσαι τοῖς δούλοις σου, ἡμῖν Θεογεννήτρια, ὅταν καθίσῃ τοῦ κρῖναι, τὰ κατ᾽ ἀξίαν ἑκάστου.

Κωνσταντίνου Παπαγιάννη

χοροστατοῦντος ἀρχιερέως

Ἦχος λ π ϰ Νη

π. Ἱεροθέου Ιερομονάχου
Αθωνική Μουσική Ανθοδέσμη
Εσπερινός 1991 σ.97#



Αἶνοι

ἦχος β΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον· αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Πέτρου Λαμπαδαρίου	Ἰακώβου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
Κωνσταντίνου Πρίγγου	Χρύσανθου Θεοδοσόπουλου	Κωνσταντίνου Παπαγιάννη
Γεωργίου Πρωγάκη	☜ Τὸν δεσπότην ☞	Δημοσθένους Παϊκόπουλου
Ἄνωθεν οἱ προφῆται		

Στιχολογία

ψαλμὸς ρμη΄ 148

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ψαλμὸς ρμθ′ 149

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Κωνσταντίνου Παπαγιάννη

Στιχηρὰ Ἀναστάσιμα

ἦχος β′

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.
Πᾶσα πνοή, καὶ πᾶσα κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς λαοῖς, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν τηροῦντες τὸν βασιλέα; διατὶ γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου. Σωτὴρ ἡμῶν δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε, ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος· αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε Λαοί, καὶ ἀγαλλιᾶσθε.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Ἄγγελος μὲν τὸ χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν, ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. Ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων, ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. Διὸ βοῶμέν σοι· Εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι.

Στιχηρὰ Ἀνατολικὰ

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
Ἔρρανάν μύρα μετὰ δακρύων, ἐπὶ τὸ μνῆμά σου αἱ γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ στόμα αὐτῶν, ἐν τῷ λέγειν· Ἀνέστη ὁ Κύριος.

Πέτρου Λαμπαδαρίου | Ἰωάννου Πρωτοψάλτου | Κωνσταντίνου Πρίγγου

Ἰδιόμελα Τριῳδίου

ἦχος β΄

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Τὴν τοῦ Ἀσώτου φωνὴν προσφέρω σοι Κύριε. Ἥμαρτον ἐνώπιον τῶν ὀφθαλμῶν σου ἀγαθέ, ἐσκόρπισα τὸν πλοῦτον τῶν χαρισμάτων σου, ἀλλὰ δέξαι με μετανοοῦντα, Σωτὴρ καὶ σῶσόν με.

ἦχος δ΄

Ἀνάστηθι, Κύριε ὁ Θεός, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.
Ὡς ὁ ἄσωτος υἱὸς ἦλθον κἀγὼ οἰκτίρμον, ὁ τὸν βίον ὅλον δαπανήσας ἐν τῇ ἀποδημίᾳ, ἐσκόρπισα τὸν πλοῦτον, ὃν δέδωκάς μοι Πάτερ, δέξαι με μετανοοῦντα ὁ Θεός, καὶ ἐλέησόν με.

ἦχος πλ.δ΄

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
Δαπανήσας ἀσώτως, τῆς πατρικῆς οὐσίας τὸν πλοῦτον, καὶ καταναλώσας, ἔρημος γέγονα, ἐν τῇ χώρᾳ οἰκήσας, τῶν πονηρῶν πολιτῶν, καὶ μηκέτι φέρων τὸ μετὰ τούτων συνοικέσιον, ἐπιστρέψας βοῶ σοι τῷ οἰκτίρμονι Πατρί· ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου, ὁ Θεός, καὶ ἐλέησόν με.

Μανουὴλ Πρωτοψάλτου | Παναγιώτου Κηλτζανίδου | Πέτρου Φιλανθίδου
Θρασυβούλου Στανίτσα | Ἀθανασίου Καραμάνη | Κωνσταντίνου Παπαγιάννη

Δοξαστικὸν

ἦχος πλ.β΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Πάτερ ἀγαθέ, ἐμακρύνθην ἀπὸ σοῦ μὴ ἐγκαταλίπῃς με, μηδὲ ἀχρεῖον δείξῃς τῆς βασιλείας σου· ὁ ἐχθρὸς ὁ παμπόνηρος ἐγύμνωσέ με, καὶ ἥρέ μου τὸν πλοῦτον· τῆς ψυχῆς τὰ χαρίσματα ἀσώτως διεσκόρπισα, ἀναστὰς οὖν, ἐπιστρέψας πρὸς σὲ ἐκβοῶ· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου, ὁ δι᾽ ἐμὲ ἐν σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἁπλώσας, ἵνα τοῦ δεινοῦ θηρὸς ἁφαρπάσῃς με, καὶ τὴν πρώτην καταστολὴν ἐπενδύσῃς με, ὡς μόνος πολυέλεος.

Πέτρου Ἐφεσίου	Παναγιώτου Κηλτζανίδου	Γεωργίου Βιολάκη
Πέτρου Φιλανθίδου	Ἐμμανουὴλ Φαρλέκα	Φαρλέκα ἁπλούστερον
Κωνσταντίνου Πρίγγου	Θρασυβούλου Στανίτσα	Δοσιθέου Κατουνακιώτου
Ἀθανασίου Καραμάνη	Κωνσταντίνου Παπαγιάννη Ι	Ἐλευθερίου Γεωργιάδη
	Κωνσταντίνου Παπαγιάννη ΙΙ	Κωνσταντίνου Λάμπρου

Θεοτοκίον

ἦχος β΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Πέτρου Ἐφεσίου	Κωνσταντίνου Παπαγιάννη

Δοξολογία

σύντομες	ἀργὲς
Πέτρου Λαμπαδαρίου	Ἰακώβου Πρωτοψάλτου
Ἰωάννου Καββάδα	Θεοδώρου Φωκαέως
Μανουὴλ Πρωτοψάλτου	

Ἀναστάσιμον τροπάριον

Ἦχος Δι

Χρήστος Τσακίρογλου#



ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.
Ἀμήν.

Ἦχος Νη

Χρύσανθου Θεοδοσόπουλου
Πεντηκοστάριον 1983 σ.30*




Κ υ ρι ε ε λε η σον


ΒϪ
ΝΗ
Κ υ ρι ε ε λε η σον


ΔΙ
ΝΗ
Κ υ ρι ε ε λε η σον


ΔΙ
ΝΗ
Κ υ ρι ε ε λε η σον


ΠΑ
ΝΗ
ΔΙ
ΝΗ
Κ υ ρι ε ε λε η σον


ΓΑ
ΝΗ
Κ υ ρι ε ε λε η σον


ΒϪ
ΝΗ
ΠΑ
Κ υ ρι ε ε λε η σον


ΝΗ
ΔΙ
Κ υ ρι ε ε ε λε η σον


ΝΗ
ΔΙ
ΝΗ
Κ υ ρι ε ε ε λε η σον

ΔΙ
ΝΗ
C οι Κυ ρι ε



Ἀντίφωνα

ἀντίφωνον α΄

Ἦχος Δι

∴ Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. 102:1

∴ Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. 102:2

∴ Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. 102:19

∴ Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. 102:22

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Πανδέκτη 1851 σ.26#



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.





Συναπτὴ

Ἔτι καὶ ἔτι… Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον… Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου… Σοί, Κύριε.
Ὅτι σὸν τὸ κράτος… Ἀμήν.

ἀντίφωνον β΄

Ἦχος Δι

∴ Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. 145:1-2

∴ Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. 145:5

∴ Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. 145:6

∴ Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. 145:10

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Πανδέκτη 1851 σ.26#



Πανδέκτη, 1851 σ.11#




νων α μην


Ο Μο νο γε νης Υι ος και Λο γος του Θε ου α θα
να τος υ παρ χων και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι αν σαρ κω θη ναι εκ της Α
γι ας Θε ο το κου και α ει παρ θε νου Μα ρι
ας α τρε πτως εν αν θρω πη σας σταυ ρω θεις τε Χρι
στε ο Θε ος θα να τω θα να τον πα τη σας εις ων
της α γι ας Τρι α α α δος συν δο ξα ζο με
νος τω Πα τρι και τω α γι ω Πνευ μα τι σω σον η μα
α ας

Συναπτή

Ἔτι καὶ ἔτι… Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον… Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου… Σοί, Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος… Ἀμήν.

ἀντίφωνον γ′ ἦχος β′

∴ Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 117:1

∴ Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. 117:4

∴ Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. 117:24

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πέτρου Εφεσίου | Ἰωάννου Πρωτοψάλτου | Χρυσοστόμου Μοναχοῦ
Κωνσταντίνου Πρίγγου | Κωνσταντίνου Παπαγιάννη

Εἰσοδικὸν

Ἦχος Δι

Πανδέκτη 1851 σ.27#



Ἀπολυτίκια

Ἀναστάσιμον

ἦχος β΄

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πέτρου Εφεσίου	Ἰωάννου Πρωτοψάλτου	Χρυσοστόμου Μοναχοῦ
Κωνσταντίνου Πρίγγου		Κωνσταντίνου Παπαγιάννη

τοῦ ἁγίου τοῦ ναοῦ

Κοντάκιον

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ἦχος γ΄

Τῆς πατρῴας, δόξης σου, ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὃν μοι παρέδωκας πλοῦτον· ὅθεν σοι τὴν τοῦ Ἀσώτου, φωνὴν κραυγάζω· ἥμαρτον ἐνώπιόν σου Πάτερ οἰκτίρμον, δέξαι με μετανοοῦντα, καὶ ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.

Θρασύβουλου Στανίτσα	Κωνσταντίνου Παπαγιάννη

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Τρισάγιος Ὕμνος

Γεωργίου Πρωγάκη	ἦχος β΄	σύντομος
Ἱεροθέου ἱεροδιακόνου		
Κύριε σῶσον τοὺς εὐσεβεῖς καὶ ἐπάκουσον ἡμῶν.		

Ἀπόστολος

Προκείμενον. Ἦχος β΄.

Πρόσχωμεν.

∴ Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος καὶ ἐγένετό μοι εἰς σωτηρίαν. 117:14

∴ Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. 117:18

Σοφία

Πρὸς Κορινθίους α΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. 6:12-20

Πρόσχωμεν

Ἀδελφοί, πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; Ἆρα οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; Μὴ γένοιτο! Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; Ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν. Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι. Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ.

Εἰρήνη σοι.

Ἦχος δι

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.76#



τὸ τέλος

∴ Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. 19:2

∴ Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. 19:3

Εὐαγγέλιον

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. 15:11-32
Πρόσχωμεν.
Δόξα σοι, Κύριε, δόξα σοι.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις εἶχε δύο υἱούς. 12Καὶ εἶπεν ὁ νεώτερος
αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν
βίον. 13Καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς
χώραν μακράν· καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. 14Δαπανήσαντος δὲ
αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ αὐτὸς ἤρξατο
ὑστερεῖσθαι. 15Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν
αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. 16Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ
ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. 17Εἰς ἑαυτὸν δὲ ἐλθὼν, εἶπε·
Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; 18Ἀναστὰς
πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ
ἐνώπιόν σου· 19καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων
σου. 20Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν
αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ,
καὶ κατεφίλησεν αὐτόν. 21Εἶπε δὲ αὐτῷ ὁ υἱὸς· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν
σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. 22Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ·
Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα
αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας, 23καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε·
καὶ φαγόντες εὐφρανθῶμεν. 24 Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς
ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι. 25Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ·
καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν. 26Καὶ προσκαλεσάμενος
ἕνα τῶν παίδων, ἐπυνθάνετο τί εἴη ταῦτα. 27Ὁ δὲ εἶπεν αὐτῷ· Ὅτι ὁ ἀδελφός σου ἥκει· καὶ
ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. 28Ὠργίσθη
δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν, παρεκάλει αὐτόν. 29 Ὁ δὲ
ἀποκριθεὶς, εἶπε τῷ πατρί· Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι· καὶ οὐδέποτε ἐντολήν σου
παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. 30Ὅτε δὲ
ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον
τὸν σιτευτόν. 31 Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά
ἐστιν. 32Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος, νεκρὸς ἦν, καὶ ἀνέζησε·

καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

Πέτρου Λαμπαδαρίου

Ἦχος δ΄ Δι

Γεωργίου Πρωγάκηι
Μουσική συλλογή
Λειτουργία 1909 σ.59/733*



Ἐκτενὴς δέησις

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν· εἴπωμεν.

Κύριε, ἐλέησον.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τῶν πρεσβυτέρων, τῶν διακόνων καὶ τῶν μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων σου, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ τῇ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων καὶ συνδρομητῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης, σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις αὐτῶν.

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης

καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων.
Κύριε, ἐλέησον. (γ′)
Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.
Κύριε, ἐλέησον. (γ′)
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Δέησις ὑπὲρ τῶν κατηχουμένων

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.
Κύριε, ἐλέησον.
Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.
Κύριε, ἐλέησον.
Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.
Κύριε, ἐλέησον.
Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.
Κύριε, ἐλέησον.
Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.
Κύριε, ἐλέησον.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεὸς τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.
Σοί, Κύριε.
Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε. Μή τις τῶν κατηχουμένων.

Ἡ λειτουργία τῶν πιστῶν

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία.
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία!
Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Χερουβικὸν ἦχος β΄

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.

433	Γρηγορίου Πρωτοψάλτου	425	Γαβριὴλ Κουντιάδου
526	Πέτρου Ἐφεσίου	279	Θρασυβούλου Στανίτσα
440	Θεοδώρου Φωκαέως	303	Δοσιθέου Κατουνακιώτου
379	Κωνσταντίνου Πρωτοψάλτου	269	Δημητρίου Σουρλαντζῆ
329	Ἰωάσαφ Διονυσιάτου	255	Κωνσταντίνου Παπαγιάννη
373	Ἀλεξάνδρου Βυζαντίου	288	Ἐλευθερίου Γεωργιάδη
295	Ἐμμανουὴλ Φαρλέκα	343	Κωνσταντίνου Λάμπρου

Λειτουργικὰ

Βασιλείου Νικολαΐδου	Κωνσταντίνου Πρίγγου	Στανίτσα δευτερόπρωτος
Χρύσανθου Θεοδοσόπουλου	Γεωργίου Καρακάση	Κωνσταντίνου Παπαγιάννη
	τὰ κατὰ παράδοσιν	

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Κύριε, ἐλέησον.

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Καὶ πάντων καὶ πασῶν.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμεληματῶν ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Παράσχου, Κύριε.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί, Κύριε.
Καὶ καταξίωσον ἡμᾶς, δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Σοί, Κύριε.
Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Πρόσχωμεν, τα Ἅγια τοῖς ἁγίοις.
Εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Κοινωνικὸν ἦχος β΄

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

370	Ἰωάννου τοῦ Δαμασκηνοῦ	374	Ἰωάννου Λαμπαδαρίου
319	Πέτρου Λαμπαδαρίου	341	Ἀλεξάνδρου Βυζαντίου
296	Πέτρου Λαμπαδαρίου	209	Γεωργίου Καρακάση

523	Πέτρου Λαμπαδαρίου	136	Δοσιθέου Κατουνακιώτου
421	Δανιὴλ Πρωτοψάλτου	232	Δημητρίου Σουρλαντζῆ
473	Πέτρου Βυζαντίου	269	Ἀθανασίου Καραμάνη
526	Γρηγορίου Πρωτοψάλτου	304	Κωνσταντίνου Λάμπρου
429	Θεοδώρου Φωκαέως		

Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Μανουήλ Πρωτοψάλτου | Δημητρίου Σουρλαντζῆ | Κωνσταντίνου Παπαγιάννη

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος Δι

Ι.Μ.Βατοπαιδίου
Λειτουργία 2007*





Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων... Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Κύριε, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν...
Σοί Κύριε.
Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν...
Ἀμήν.
Ἐν εἰρήνῃ προέλθωμεν.
Ἐν ὀνόματι Κυρίου.
Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρός τῶν φώτων, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἦχος Δι

Δημητρίου Σουρλαντζή
Βυζαντινή Θεία Λειτουργία
1992 σ.562#



Ἀπόλυσις

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θεία χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Κύριε ἐλέησον. (γ΄) Πάτερ ἅγιε, εὐλόγησον.
Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

κατὰ τὴν ἀπόλυσιν

Ἦχος Δι

Δημητρίου Σουρλαντζή
Βυζαντινή Θεία Λειτουργία
1992 σ.563#



εἰς ἀρχιερατικήν Θείαν Λειτουργίαν



Φυλάξαι Κύριος ὁ Θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε·
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ἐπιμέλεια

Γεράσιμος Μοναχὸς Ἁγιορείτης ∴ Λουκᾶς Λουκᾶ ∴ Δημήτριος Παπαδόπουλος

gerry.monk@gmail.com louka.loukas@gmail.com

ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Εἰς τὸν Ἑσπερινὸν

Κεκραγάρια

Ἰακώβου Πρωτοψάλτου

Ἦχος Δι

Πανδέκτη, Εσπερινός
1850 σ.186*



τω χε χρα γε ε ε ε ε ε ε ναι αι με ε ε ε ε

η σε ε ω ω ω ω ω ω ω ιω ω ω ως μου εν

ν η η η η η η η η η η η η τη ς δε η η η η η η η η η η η η

ο ο ο ο ιο ο ο ο σχε ε ες τη η φω ω ω

ο ο ο ο ο ο ο ο ο ιο ο ο ο ον μου προ ο ο ο ο

ει σ α α χου ου σο ο ο ο ο ο ο ιε ε ε ε

α α α α α α προ ος σε ε ει ει σα α α α ια

χε ε ε χρα α α α α α α α α α ξα

ε ε ε ε Κυ υ ρι ι ι ι ιι ι ι ι ε ε ε

ει ρω ω ω ω ω ιω ω ωων μου θυ σι ι ιι
α α α αρ σις τω ω ω ω ω ω ιω ω ω ων χει
ο ο ο ο ο ο ο ιο ο ο ο ον σου ε ε παα
ιω εν ω ω πι ι ο ο ο ο ο ο ο ο ιε ε ε
α α α α ια α α α μα ε εν ω ω ω ω
η η η η η η η η μου ου ως θυ μι ι ι ι α
προ ο οσ ε ε ε ε ε ε ε ε ε ευ χη
α τευ θυν θη η η η η η ιη η η η τω η
α αχου σο ο ο ο ο ον μου Κυ υ υ υ ρι ε
ια α α α α ιε ε ε ε ε προ ος σε ε εισ



Πέτρου Βυζαντίου

Ἦχος Δι

Πέτρου Εφεσίου
Αναστασιματάριον
Βουκουρέστι 1820 σ.31*




σχες τη φω νη η η τη ης δε η η σε ω ω ω ως
μου εν τω χε χρα γε ε ναι αι με προ ος σε ε ε
ε εισ α χου σο ονμου Κυ υ υ υ υ υ υ υ
ρι ε
Κ α τευ θυν θη η τω η η η προ ο οσ ευ χη η η
μου ως θυ μι α α μα α ε ε εν ω ω ω πι ι ο
ο ον σου ε ε παρ σι ις των χει ρω ω ων μου ου
θυ σι ι ι α α ε σπε ρι ι νη η η εισ α
χου σο ονμου Κυ υ υ υ υ υ υ υ ρι ε

Ἦχος δι

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.53#





Κωνσταντίνου Πρίγγου

Ἦχος Δι

Κωνσταντίνου Πρίγγου
Ἀναστασιματάριον
1952 σ.23*




σε ε ει ει εισ α α α α χου σο ον μου προ ο
σχες τη φω ω νη η τη ης δε ε ε η η η σε ε ω
ω ως μου εν τω χε χρα α γε ε ναι αι αι με προς
σε ε ε εισ α α χου σο ον μου ου Κυ υ υ
ρι ι ι ε
Κα τευ θυν θη τω η προσ ε ευ χη η η μου ως θυ μι
α μα ε ε εν ω ω ω πι ι ο ο ον σου ε παρ
σις των χει ει ρω ω ων μου θυ υ σι ι α ε ε σπε ρι
νη η η εισ α α χου σο ον μου ου Κυ υ υ
ρι ι ι ε

Ἦχος δ΄

Χρύσανθου Θεοδοσόπουλου
Πεντηκοστάριον 1983 σ.45*





Κωνσταντίνου Παπαγιάννη

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.Α162*


Κ υ υ υ υ ρι ε ε ε κε κρα α ξα α προ ο
ος σε ε εισ α α α κου σο ον μου ει εισ α κου
ου ου ου σον μου Κυ υ υ ρι ι ι ι ε Κυ υ ρι ι
ε ε κε ε κρα α ξα α α προ ος σε εισ α
α α α κου ου σο ο ον μου προ ο ο σχες τη φω
ω νη η η η τη ης δε η η σε ω ω ω ως μου εν
τω κε κρα γε ε ε ναι με ε προ ος σε ε εισ α α
κου σο ον μου ου Κυ υ υ ρι ι ι ι ε
Κ α τευ θυν θη η η τω η προσ ευ χη η η η η η
μου ως θυ μι ι α α μα α ε ε εν ω ω ω πι ι



Στιχολογία

Πέτρου Βυζαντίου

Ἦχος Δι

Πέτρου Εφεσίου
Αναστασιματάριον
Βουκουρέστι 1820 σ.32*






Συν αν θρω ποις ερ γα ζο με νοις την α νο μι
ι ι αν και ου μη συν δυ α α σω με τα των εκ
λε κτων αυ των
Παι δευ σει με δι και ος εν ε λε ει και ε λεγ ξει
με ε λαι ον δε α μαρ τω λου μη λι πα να α τω την κε φα
λην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας οι
κρι ται αυ των
λ κου σον ται τα ρη μα τα μου ο τι η δυν θη


σαν ωσ ει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι
σθη τα ο στα αυ των πα ρα τον Α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ μοι
οι οι μου ε πι σοι ηλ πι σα μην αν τα νε λης την ψυ χη
ην μου
Φ υ λα ξον με α πο πα γι δος ης συν ε στη σαν
το μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την
α νο μι ι αν
Π ε σουν ται αι εν αμ φι βλη στρω αυ των οι α μαρ τω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε ελ


θω
Φω νη μου προς Κυ ρι ον ε χε χρα ξα φω νη
μου προς Κυ ρι ον ε δε η η θην
Ε χ χε ω εν ω πι ον αυ του την δε η σιν μου την
θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και συ
ε γνως τας τρι βους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο ο μην ε
κρυ ψαν πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α και ε πε βλε πον


και ουκ ην ο ε πι γι νω σκων με
πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο
εκ ζη των την ψυ χη η ην μου
κε κρα ξα προς σε Κυ ρι ε ει πα συ ει
η ελ πις μου με ρις μου ει εν γη ζω ων των
ρο σχες προς την δε η σιν μου ο ο τι ε τα πει
νω θην σφο ο δρα
υ σαι με εκ των κα τα δι ω κο ον των με
ο τι ε κρα ταιω θησαν υ περ ε με

Ἦχος Δι

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.54#




με ε λαι ον δε α μαρ τω λου μη λι πα να τω την κε
φα λη η ην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας
οι κρι ται αυ των
λ κου σον ται τα ρη μα τα μου ο τι η δυν θη σαν
ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι
σθη τα ο στα αυ των πα ρα τον α α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ
μοι οι οι μου ε πι σοι ηλ πι σα μη αν τα νε λης


την ψυ χη ην μου
Φυ λα ξον με α πο πα γι δος ης συ νε στη σαν το
μοι χαι α πο σκαν δα λων των ερ γα ζο με νων την
α νο μι ι αν
Πε σουν ται εν αμ φι βλη στρω αυ των οι α μαρ τω
λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε ελ
θω
Φω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη
μου προς Κυ ρι ον ε δε η θην
Ϲχ χε ω ε νω πι ον αυ του την δε η σι


ι ιν μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ
γε λω
Θ ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και συ ε
γνως τας τρι βους μου
Θ ν ο δω ταυ τη η ε πο ρευ ο ο ο μην
ε κρυ ψαν πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α και ε πε βλε πον
και ουκ ην ο ε πι γι νω σκων με
Λ πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο
εκ ζη τω ων την ψυ χη η ην μου



Γεράσιμος Μοναχὸς Ἁγιορείτης Στιχηρὰ Λουκᾶς Λουκᾶ

Κωνσταντίνου Παπαγιάννη

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.Α162*




Μη εκ χλι νης την χαρ δι αν μου εις λο γους πο νη
ρι ας του προ φα σι ζε σθαι προ φα σεις εν α μαρ τι ι
αις
Συν αν θρω ποις ερ γα ζο με νοις την α νο μι ι αν
και ου μη συν δυ α σω με τα των εκ λε κτων αυ
των
Παι δευ σει με δι και ος εν ε λε ει και ε λεγ ξει
με ε λαι ον δε α μαρ τω λου μη λι πα να α τω την κε φα
λη ην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ


δο χι αις αυ των χα τε πο θη σαν ε χο με να πε τρας οι
χρι ται αυ των
α κου σον ται τα ρη μα τα μου ο τι η δυν θη σαν
ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ πι
σθη τα ο στα αυ των πα ρα τον α α δην
ο τι προς σε ε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ μοι μου
ε πι σοι ηλ πι σα μη η αν τα νε λης την ψυ χη ην
μου
φ υ λα ξο ον με α πο πα γι δος ης συν ε στη σαν το ο
μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την α νο


μι ι αν
Π ε σουν ται εν αμ φι βλη στρω αυ των οι α μαρ τω
λοι χα τα μο νας ει μι ε γω ε ως αν πα ρε ελ
θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου
προς Κυ ρι ον ε δε η η θην
Є χ χε ω εν ω πι ον αυ του την δε η σιν μου την
θλι ψιν μου εν ω πι ον αυ του α παγ γε λω
Є ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και συ
ε ε γνως τας τρι βους μου


Ε ν ο δω ω ταυ τη η ε πο ρευ ο μην ε χρυ ψαν
πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α και ε πε βλε πον
και ουκ ην ο ε πι γι νω σκων με
Ⲗ πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο εκ ζη
τω ωντην ψυ χη η ην μου
Ε κε κρα ξα προς σε Κυ ρι ε ει ει πα συ ει
η ελ πις μου με ρις μου ει εν γη η ζω ων των
Π ρο σχες προς την δε η σι ιν μου ο τι ε τα πει
νω θην σφο ο δρα



Στιχηρὰ Ἀναστάσιμα

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Πέτρου Εφεσίου
Αναστασιματάριον
Βουκουρέστι 1820 σ.35*






προσ χυ υ νη η η σω ω ω ω μεν Σταυ ρον γαρ
υ υ υ πο μει ει νας τη τα φη πα ρε ε δο
ο ο θη ως αυ το ος η θε ε ε ε λη η
η η σε και α να στας εκ νε ε κρων ε σω σε με
τον πλα νω με νο ον α α αν θρω ω ω ω πον
με υ πο με νου σι δι και οι ε ως ου
αν τα πο δω ως μοι
ρι στος ο Σω τηρ η η μων το καθ η μων χει ρο
γρα α φον προσ η λω σα ας τω Στα αυ ρω ω ω ω εξ
η η η η λει ει ει ει ψε και του θα να του

το χρα α α α τος χα α τη η ηρ γη η η η σε
προσ χυ νου ου ου ου μεν α αυ του ου ου ου την τρι η
με ρο ον ε ε ε γε ε ε ερ σιν
Θε χ βα θε ων ε χε χρα ξα σοι Κυ ρι ε Κυ ρι
ε εισ α κου σον της φω νη ης μου
Συν αρ χαγ γε λοις υ μνη σω ω μεν Χρι στου ου ου ου την
α α να α α στα α α α σιν αυ τος γαρ λυ
τρω τη ης ε ε στι και Σω τη ηρ των ψυ χω ω ων
